ὅτι οὕτως ἡ ἐγρήγορσις ἐστὶν ἐντελέχεια τῆς αἰσθητικῆς ψυχῆς ὥσπερ ἡ τμῆσις τῆς μαχαίρας, καὶ ἡ ὅρασις ἐστὶν ἐντελέχεια τοῦ ὀφθαλμοῦ· ἕκαστον γὰρ αὐτῶν ἐστὶν ἐνέργεια καὶ χρῆσις τῆς ἀρχομένης ἀρχῆς. Ἀλλ' ἡ ψυχὴ ἐστὶν ἐντελέχεια πρώτη, ὥσπερ ἡ ὅρασις καὶ ἑκάστη δύναμις τοῦ ὀργάνου· ἕκαστον γὰρ αὐτῶν ἐστὶν ἀρχὴ ἐνεργείας. Ἀλλὰ τὸ σῶμα, ὅπερ ἐστὶ τέλειον διὰ τὴν ψυχήν, ἔστι δυνάμει μὲν ἔχον τὴν πρώτην ἐντελέχειαν, ἀλλὰ στερόμενον, ἔστιν ὅτε, τῆς δευτέρας ἐντελεχείας. Ἀλλ' ὥσπερ ὁ ὀφθαλμὸς σύνθετον τί ἐστιν ἐκ τῆς κόρης ὡς ὕλης, καὶ τῆς ὄψεως ὡς μορφῆς, οὕτω καὶ τὸ ζῷον ἐστὶ σύνθετον ἐκ τῆς ψυχῆς ὡς εἴδους, καὶ τοῦ σώματος ὡς ὕλης.

Ὅτι μὲν οὖν οὐκ ἔστιν. Ἐνταῦθα συμπεραίνει τινὰ ἀλήθειαν ἐκ τῶν προτεθειμένων. Ἐπειδὴ γὰρ ἔδειξεν, ὅτι ἡ ψυχὴ ἐστὶν ἐντελέχεια ὅλου τοῦ σώματος καὶ τὰ μέρη εἰσὶν ἐντελέχειαι τῶν μερῶν, ἡ δὲ ἐντελέχεια καὶ τὸ εἶδος οὐ χωρίζεται τοῦ οὗ ἐστιν ἐντελέχεια ἢ εἶδος, φανερόν ἐστιν, ὅτι ἡ ψυχὴ οὐ δύναται χωρίζεσθαι τοῦ σώματος, ἢ αὐτὴ ὅλη, ἢ τινὰ μέρη αὐτῆς, εἰ πέφυκε τρόπῳ τινὶ μέρη ἔχειν. Φανερὸν γάρ ἐστιν, ὅτι τινὰ μέρη τῆς ψυχῆς εἰσὶν ἐντελέχειαι τινῶν μερῶν τοῦ σώματος, ὡς εἴρηται ὅτι ἡ ὄψις ἐστὶν ἐντελέχεια τοῦ ὀφθαλμοῦ. Ἀλλὰ κατά τινα μέρη οὐδὲν κωλύει τὴν ψυχὴν χωρίζεσθαι, διότι τινὰ μέρη τῆς ψυχῆς οὐδενὸς σώματος εἰσὶν ἐντελέχειαι, ὡς ἔμπροσθεν δειχθήσεται ἐπὶ τῶν περὶ τὸν νοῦν. Καὶ διότι ὁ Πλάτων ἐτίθει τὴν ψυχὴν εἶναι ἐντελέχειαν τοῦ σώματος οὐχ ὡς εἶδος, ἀλλ' ὡς κινοῦν, ἐπάγει ὅτι τοῦτο οὔπω ἐστὶ φανερόν, εἰ ἡ ψυχὴ ἐστὶν οὕτως ἐντελέχεια τοῦ σώματος ὥσπερ ὁ πλωτὴρ ἐστιν ἐντελέχεια τῆς νεώς, δηλονότι ὡς κινῶν μόνον. Μετὰ ταῦτα ἐπιλέγων συνάγει τὰ εἰρημένα, καὶ φησὶν ὅτι κατὰ τὰ προειρημένα διώρισται περὶ ψυχῆς καὶ τέθειται ἡ ταύτης ὑπογραφὴ τυπικῶς ὡσανεὶ ἐξωτερικῶς καὶ ἐπιπολαίως καὶ ἀτελῶς. Τελειωθήσεται δὲ ὁ περὶ τῆς ψυχῆς διορισμός, ὅταν ἀφίκηται μέχρι τῶν ἐνδοτάτων ὥστε διορισθῆναι τὴν φύσιν ἑκάστου μέρους αὐτῆς τῆς ψυχῆς.

## Leçon III.

Ἐπεὶ δὲ ἐκ τῶν ἀσαφῶν μέν. Θεὶς ὁ Φιλόσοφος τὸν ὁρισμὸν τῆς ψυχῆς, ἐνταῦθα τίθεται δεικνύειν αὐτόν. Καὶ πρῶτον λέγει περὶ τίνος ἐστὶν ὁ σκοπὸς αὐτῷ· δεύτερον, ἐπεξεργάζεται, ἐν τῷ· Λέγωμεν οὖν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διορίζεται τὸν τρόπον τῆς ἀποδείξεως ᾧ χρῆσθαι βούλεται, ἐν τῷ· Ἀποδεικνύειν· δεύτερον, φανεροῖ ὅπως τινὲς ὁρισμοὶ εἰσὶν ἀποδείξεις, ἐν τῷ· Οὐ γὰρ μόνον, καὶ τὰ λοιπά.

---

**23-24** *ἐντελέχεια: εἶδος* **B** **26** *ἤγουν* **avant** *ὡσανεὶ* **add B**

Ε.Υ.Δ της Κ.τ.Η ΙΩΑΝΝΙΝΑ 2006

Περὶ τὸ πρῶτον ἰστέον ὅτι, ἐπεὶ ἐκ τῶν σαφῶν δεῖ εἰς γνῶσιν τῶν ἀσαφῶν ἀφικνεῖσθαι, πᾶσα δὲ ἀπόδειξις παράγεται πρὸς τὸ δεῖξαί τι, ἀνάγκη πᾶσαν ἀπόδειξιν προϊέναι ἐκ τῶν γνωριμωτέρων ὅσον πρὸς ἡμᾶς, οἷς διὰ τῆς ἀποδείξεως γίνεταί τι φανερόν· ἐν οἷς δὲ εἰσὶ τὰ αὐτὰ γνωριμώτερα ὅσον πρὸς ἡμᾶς καὶ κατὰ τὴν φύσιν, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν, ἅτινά εἰσιν ἀφῃρημένα τῆς ὕλης, καὶ ἐν τούτοις ἡ ἀπόδειξις πρόεισιν ἐκ τῶν γνωριμωτέρων ἁπλῶς καὶ κατὰ τὴν φύσιν, δηλονότι ἐκ τῶν αἰτιῶν εἰς τὰ ἀποτελέσματα. Ὅθεν καὶ λέγεται τοῦ διότι ἀπόδειξις. Ἔν τισι δὲ οὐκ εἰσὶ γνώριμα τὰ αὐτὰ ἡμῖν τε καὶ ἁπλῶς, δηλονότι ἐν τοῖς φυσικοῖς, ἐν οἷς, ὡς ἐπὶ τὸ πλεῖστον, τὰ αἰσθητὰ ἀποτελέσματα εἰσὶ γνωριμώτερα τῶν ἰδίων αἰτιῶν· καὶ διὰ τοῦτο ἐν τοῖς φυσικοῖς, ὡς ἐπὶ τὸ πλεῖστον, δεῖ προϊέναι ἀπὸ τῶν ἧττον γνωρίμων κατὰ τὴν φύσιν, ἡμῖν δὲ γνωριμωτέρων, ὡς ἐν τῷ πρώτῳ λέγεται τῶν φυσικῶν. Καὶ τούτῳ τῷ τρόπῳ τῆς ἀποδείξεως κἀνταῦθα χρῆσθαι σκοπεῖ· καὶ τοῦτ᾽ ἔστιν ὅ φησιν ὅτι, ἐπεὶ τὸ τῇ φύσει σαφὲς καὶ κατὰ τὸν λόγον γνωριμώτερον γίνεται καὶ ἡμῖν σαφέστερον, διὰ τούτου τοῦ τρόπου πειρατέον πάλιν ἐπελθεῖν περὶ ψυχῆς, δεικνύντας τὸν ὁρισμὸν αὐτῆς τὸν προαποδεδομένον.

Οὐ γὰρ μόνον. Ἐνταῦθα ἀποδίδωσι τὴν αἰτίαν τοῦ προειρημένου σκοποῦ, δεικνὺς ὅπως ὁρισμοί τινες εἰσὶν ἀποδεικτοί· καὶ τοῦτ᾽ ἔστιν ὅ f. 293 φησιν, ὅτι διὰ τοῦτο δεῖ πάλιν ἐπελθεῖν | περὶ ψυχῆς, διότι δεῖ τὸν ὁριστικὸν λόγον μὴ μόνον τὸ ὅτι ἐστὶ δηλοῦν, ὅπερ οἱ πλεῖστοι τῶν ὁρισμῶν λέγουσιν, ἀλλὰ δεῖ καὶ τὴν αἰτίαν ἐνυπάρχειν τῷ ὁρισμῷ καὶ φαίνεσθαι, καὶ τῷ ὁρισμῷ τῷ λέγοντι τὸ διότι δείκνυσθαι τὸν ὁρισμὸν τὸν λέγοντα τὸ ὅτι μόνον. Εὑρίσκονται δὲ νῦν πολλοὶ λόγοι τῶν ὅρων, τουτέστιν ὁρισμοί, οἵτινες εἰσὶ συμπεράσματα, καὶ τίθησι παράδειγμα ἐκ τῶν γεωμετρικῶν. Οὐ πρὸς κατανόησιν εἰδέναι δεῖ, ὅτι τῶν τετραγώνων σχημάτων τινὰ μὲν ἔχουσι πάσας τὰς γωνίας ὀρθάς, καὶ καλοῦνται ὀρθογώνια· τινὰ δὲ οὐκ ἔχουσι, καὶ καλοῦνται ῥόμβοι ἢ ῥομβοειδῆ.

Ἰστέον δὲ αὖ ὅτι τῶν ὀρθογωνίων τὸ μὲν συνέστηκεν ἐκ τῶν πλευρῶν ἁπασῶν ἴσων, καὶ καλεῖται ὀρθογώνιον ἰσόπλευρον· τὸ δὲ οὐκ ἔχει πάσας τὰς πλευρὰς ἴσας, ἔχει μέντοι ἀεὶ τὰς ἀντικειμένας δύο πλευρὰς ἴσας, καὶ καλεῖται τὸ τοιοῦτον ὀρθωγώνιον ἑτερόμηκες.

Ἔτι ἰστέον ἐστίν, ὅτι ἐν πάσῃ ἐπιφανείᾳ τῶν ὀρθῶν γωνιῶν αἱ δύο εὐθεῖαι γραμμαί, αἱ τὴν ὀρθὴν γωνίαν συγκλείουσαι, λέγονται ὅλην τὴν ἐπιφάνειαν περιέχειν, διότι ὅταν ἄλλαι δύο πλευραὶ ὦσιν ἴσαι ἐκείναις, ἑκάστη τῇ ἰδίᾳ ἀντικειμένῃ, ἀνάγκη ἐστὶ τὴν μίαν τῶν προειρημένων

---

4-5 *οἷς διὰ — πρὸς ἡμᾶς* en marge B 15 *τῇ* om B 22-23 *ὅπερ δηλοῦσι οἱ πλεῖστοι τῶν ὁριστικῶν λόγων* B 26 *τοὺς ὁρισμοὺς* B 30 *Ἰστέον οὖν ὅτι* B

ὀρθῶν γραμμῶν, τῶν τὴν ὀρθὴν γωνίαν συγκλειουσῶν, μετρεῖν τὸ μῆκος τῆς ὀρθωγωνίου ἐπιφανείας, καὶ τὴν ἑτέραν, τὸ πλάτος· ὅθεν ὅλη ἡ ὀρθωγώνιος ἐπιφάνεια ἀναθρώσκει ἐκ τῆς ἐπαγωγῆς τῆς ἑτέρας ἐκείνων ἐπὶ τὴν λοιπήν, ὥστε ἐὰν φαντασθῶμεν τὴν μίαν αὐτῶν κινεῖσθαι ἐπὶ τὴν λοιπήν, τοιαύτην ἀναθρώσκειν ἐπιφάνειαν.

Ἔτι ἰστέον ἐστὶν ὅτι, ἐπεὶ ἐν τῷ ὀρθογωνίῳ τῷ ἑτέρῳ μήκει αἱ δύο γραμμαὶ αἱ περιέχουσαι αὐτὸ εἰσὶν ἄνισοι, ἂν ληφθῇ ἐν αὐταῖς γραμμὴ μέση ἐν ἀναλογίᾳ καὶ ἀχθῇ εἰς ἑαυτήν, γενήσεται τετράγωνον ἰσόπλευρον, ἴσον τῷ ἑτερομήκει, ὅπερ κἂν τοῖς ἀριθμοῖς φαίνεται· τετράκις γὰρ τὰ ἔννεα εἰσὶ τριάκοντα ἕξ· ὁμοίως καὶ ἑξάκις τὰ ἓξ εἰσὶ τριάκοντα ἕξ. Τοῦτο τοίνυν ἐστὶν ὃ φησιν ὅτι, ἂν ζητηθῇ τί ἐστι τετραγωνισμός, τουτέστι τὸ ἰσόπλευρον τὸ ἴσον τῷ ἑτερομήκει, ἀποδοθήσεται τοιοῦτος ὁρισμός· ῥηθήσεται γὰρ εἶναι ὀρθογώνιον, τουτέστιν ἐπιφάνεια ὀρθῶν γωνιῶν, ἰσόπλευρον. Ὁ τοιοῦτος δὲ ὁρισμός ἐστι λόγος τοῦ συμπεράσματος, τουτέστι δι' ἀποδείξεως συμπερανθείς. Εἰ δέ τις οὕτως ὡρίσαιτο λέγων, ὅτι τετράγωνον ἰσόπλευρον ἐστὶν εὕρεσις μέσης, δηλονότι γραμμῆς μέσης ἀναλογίᾳ μεταξὺ δύο πλευρῶν ἀνίσων τοῦ ἑτερομήκους, τουτέστιν ὀρθωγώνιον συνεστὼς ἐκ τῆς τοιαύτης γραμμῆς εὑρεθείσης, ὁ οὕτως ὁριζόμενος λέγει τὴν αἰτίαν τοῦ πράγματος. Ἐπιστῆσαι δὲ δεῖ, ὅτι τοῦτο τὸ παράδειγμα, ὅπερ ἐπάγεται, ἔστιν ὅμοιον τῷ ὃ βούλεται δεῖξαι περὶ ψυχὴν ὅσον κατά τι, δηλονότι ὅσον πρὸς τὸ ἀποδείκνυσθαι τὸν ὁρισμὸν τῆς ψυχῆς, οὐ μέντοι γε ὅσον πρὸς τὸ δείκνυσθαι ἀποδείξει τῇ τοῦ διότι.

Λέγωμεν οὖν. Ἐνταῦθα ἄρχεται ἀποδεικνύναι τὸν ὁρισμὸν τῆς ψυχῆς τὸν ἀνωτέρω τεθέντα τρόπῳ τῷ προειρημένῳ, δηλονότι διὰ τοῦ ἀποτελέσματος· καὶ χρῆται τοιαύτῃ ἀποδείξει· ἐκεῖνο, ὅπερ ἐστὶ πρώτη ἀρχὴ τοῦ ζῆν, ἔστιν ἐντελέχεια καὶ εἶδος τῶν ζώντων σωμάτων· ἀλλ' ἡ ψυχή ἐστι πρώτη ἀρχὴ τοῦ ζῆν τοῖς ζῶσιν· ἔστιν ἄρα τοῦ ζῶντος σώματος ἐντελέχεια καὶ εἶδος. Φανερὸν δὲ ὅτι αὕτη ἡ ἀπόδειξις ἐστὶν ἐκ τοῦ ὑστέρου· ἐκ γὰρ τοῦ τὴν ψυχὴν εἶναι εἶδος τοῦ ζῶντος σώματος, ἔστιν ἀρχὴ τῶν τῆς ζωῆς ἔργων, καὶ οὐ τὸ ἀνάπαλιν. Περὶ τοῦτο τοίνυν δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῆν· δεύτερον, ὅτι ἡ πρώτη ἀρχὴ τοῦ ζῆν ἐστιν εἶδος τοῦ ζῶντος σώματος, ἐν τῷ· Ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, διακρίνει τοὺς τρόπους τῶν ζώντων· δεύτερον, δείκνυσιν ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῆν, ἐν τῷ· Διὸ καὶ τὰ φυόμενα πάντα· τρίτον, φανεροῖ πῶς ἔχουσι τὰ τῆς ψυχῆς μέρη πρὸς ἄλληλα, καθ' ἃ ἐστιν ἀρχὴ τῶν τῆς ζωῆς ἔργων, ἐν τῷ· Πότερον δὲ τούτων.

---

4 *μίαν αὐτῶν* corrigé de *ἑτέραν ἐκείνων* B 15 *ὡρίσατο* B 16 *γραμμῆς* om B 17 *ἐν ἀναλογίᾳ* B 20 *ὃ*: *ᾧ* B 22 *ἀποδείκνυσθαι* B 28 *ἐστὶν* avant *ἐκ*: *πρόεισιν* B

Ε.Υ.Δ ΠΕΚ τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

Λέγει τοίνυν πρῶτον, ὅτι πρὸς τὸ ἐπεξεργάσασθαι καὶ ἀποδοῦναι τὸν ἡμέτερον σκοπόν, ὅς ἐστι τὸ δεῖξαι τὸν ὁρισμὸν τῆς ψυχῆς, δεῖ τοῦτο ὥσπερ ἀρχήν τινα λαβεῖν, ὅτι τὸ ἔμψυχον διακρίνεται τοῦ ἀψύχου τῷ ζῆν· τὰ γὰρ ἔμψυχα ζῇ, τὰ δὲ ἄψυχα οὐ ζῇ. Ἀλλ' ἐπεὶ πολλαπλοῦς ἐστιν ὁ τοῦ ζῆν τρόπος, ἂν εἷς μόνον ἐνῇ τινί, ῥηθήσεται τοῦτο ζῆν τε f. 293v καὶ ἔμψυχον εἶναι. Τίθησι δὲ | τέσσαρας τρόπους τοῦ ζῆν, ὧν εἷς ἐστιν ὁ κατὰ τὸν νοῦν· δεύτερος, ὁ κατὰ τὴν αἴσθησιν· τρίτος, ὁ κατὰ τὴν κίνησιν καὶ τὴν στάσιν τὴν τοπικήν· τέταρτος, ὁ κατὰ τὴν κίνησιν τῆς τροφῆς καὶ φθίσεως καὶ αὐξήσεως. Διὰ τοῦτο δὲ τέσσαρας μόνον τίθησι τρόπους τοῦ ζῆν, καίτοι γε ἀνωτέρω πέντε γένη τῶν τῆς ψυχῆς ἐνεργειῶν ἔθηκε, διότι ἐνταῦθα σκοπεῖ διακρίνειν τοὺς τρόπους τοῦ ζῆν κατὰ τοὺς τῶν ζώντων βαθμούς, οἳ διακρίνονται κατὰ ταῦτα τὰ τέσσαρα. Ἐν τισι μὲν γὰρ τῶν ζώντων εὑρίσκεται μόνον ἡ τροφὴ καὶ αὔξησις καὶ φθίσις, δηλονότι ἐν τοῖς φυτοῖς· ἔν τισι δὲ μετὰ τούτων εὑρίσκεται καὶ ἡ αἴσθησις ἄνευ τοπικῆς κινήσεως, ὥσπερ ἐν τοῖς ἀτελέσι ζῴοις, οἷα εἰσὶ τὰ ὄστρεα· ἔν τισι δὲ εὑρίσκεται καὶ ἡ κατὰ τόπον κίνησις, ὥσπερ ἐν τοῖς τελείοις ζῴοις, ἅτινα κινοῦνται κινήσει προχωρητικῇ, ὡς βόες καὶ ἵπποι καὶ τὰ τοιαῦτα· ἔν τισι δὲ μετὰ τούτων ἔτι καὶ ὁ νοῦς εὑρίσκεται, δηλονότι ἐν τοῖς ἀνθρώποις. Τὸ δὲ ὀρεκτικόν, ὅπερ ἐστὶ πέμπτον παρὰ ταῦτα τὰ τέσσαρα, οὐ ποιεῖ διαφορὰν τινὰ ἐν τοῖς τῶν ζώντων βαθμοῖς· ὅπου γὰρ ἂν ᾖ αἴσθησις, ἐκεῖ ἐστὶ καὶ ὄρεξις.

Διὸ καὶ τὰ φυόμενα. Ἐνταῦθα φανεροῖ, ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῆν κατὰ πάντας τοὺς προειρημένους τρόπους. Καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῆν ἐν τοῖς φυτοῖς· δεύτερον, ὅτι ἐν τοῖς ζῴοις, ἐν τῷ· Τὸ δὲ ζῷον διὰ τήν· τρίτον, δείκνυσί τί τε εἴρηται καὶ τί λείπεται ῥηθῆναι, ἐν τῷ· Δι' ἣν δὲ αἰτίαν.

Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ ψυχὴ ἀρχή ἐστι τοῦ ζῆν ἐν τοῖς φυτοῖς· δεύτερον, δείκνυσιν ὅτι ἡ προειρημένη ἀρχὴ τοῦ ζῆν ἐστὶ πρώτη καὶ χωριστὴ ἀπὸ τῶν ἄλλων, ἐν τῷ· Χωρίζεσθαι δέ.

Λέγει τοίνυν πρῶτον, ὅτι ἡ ψυχή ἐστιν ἀρχὴ τοῦ ζῆν ἐν τοῖς φυτοῖς, καὶ φησὶν ὅτι, ἐπειδὴ εἴρηται οἷς ἂν ἐνυπάρχοι ἓν τῶν τεσσάρων τῶν προειρημένων, ταῦτα λέγεσθαι ζῆν, ἀκολουθεῖ πάντα τὰ φυόμενα ζῆν· πάντα γὰρ ἔχουσιν ἐν ἑαυτοῖς δύναμίν τινα καὶ ἀρχὴν δι' ἧς λαμβάνουσι τὴν κίνησιν τῆς αὐξήσεως καὶ φθίσεως. Καὶ ὅτι αὕτη ἡ ἀρχὴ οὐκ ἔστιν ἡ φύσις ἀλλ' ἡ ψυχή, φανερόν ἐστιν· ἡ γὰρ φύσις οὐ κινεῖ πρὸς τοὺς ἐναντίους τόπους, ἡ δὲ κίνησις τῆς αὐξήσεως καὶ φθίσεως ἐστὶ κατὰ τοὺς ἐναντίους τόπους· αὔξουσι γὰρ τὰ φυόμενα πάντα οὐ μόνον ἄνω, οὐδὲ

---

**5** *τρόπος* **corrigé de** *λόγος* **B** *μόνος* **B** **26** *αὖθις* **avant** *δύο* **add B** *μὲν γὰρ* **avant** *δείκνυσιν* **add B** **37** *οὐδὲ*: *καὶ* **B**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κάτω μόνον, ἀλλὰ καθ' ἑκάτερον τρόπον. Φανερὸν οὖν οὕτως ἐστίν, ὅτι ἡ ἀρχὴ τούτων τῶν κινήσεων οὐκ ἔστιν ἡ φύσις, ἀλλ' ἡ ψυχή. Οὐδὲ μόνον ζῇ τὰ φυόμενα ἐν τῷ αὔξειν αὐτὰ καὶ φθίνειν, ἀλλὰ πάντα τὰ τρεφόμενα ἐπὶ τοσοῦτον ζῶσιν, ἐφόσον δύνανται λαμβάνειν τὴν τροφήν, δι' ἧς ἡ αὔξησις γίνεται.

Χωρίζεσθαι δέ. Ἐνταῦθα δείκνυσιν, ὅτι ἡ προειρημένη ἀρχὴ τοῦ ζῆν ἐστὶ πρώτη καὶ χωριστὴ τῶν ἄλλων, καὶ φησὶν ὅτι τοῦτο, δηλονότι ἡ ἀρχὴ τῆς αὐξήσεως καὶ τῆς τροφῆς, δύναται χωρίζεσθαι τῶν ἄλλων ἀρχῶν τοῦ ζῆν. Ἀλλὰ τὰ ἄλλα οὐ δύνανται χωρίζεσθαι τούτου ἐν τοῖς θνητοῖς πράγμασιν, ὅπερ διὰ τοῦτο προστίθησιν, ὅτι ἐν τοῖς ἀθανάτοις, οἷαι εἰσὶν αἱ χωρισταὶ οὐσίαι καὶ τὰ οὐράνια σώματα, εἰ μόνον εἴη ἔμψυχα, εὑρίσκεται ἡ νοερὰ ἀρχὴ χωρὶς τοῦ θρεπτικοῦ. Ὅτι δὲ αὕτη ἡ ἀρχὴ χωριστὴ τῶν ἄλλων ἐστί, φανερόν ἐστιν ἐν τοῖς φυομένοις, τουτέστιν ἐν τοῖς φυτοῖς, ἐν οἷς οὐδεμία ἄλλη δύναμις τῆς ψυχῆς ἐστιν εἰ μὴ αὕτη. Ἐξ οὗ φανερόν ἐστιν, ὅτι τὸ δι' ὃ πρῶτον εὑρίσκεται ἡ ζωὴ ἐν τοῖς θνητοῖς ἐστιν ἡ ἀρχὴ τῆς αὐξήσεως καὶ τροφῆς, ὃ καλεῖται ψυχὴ θρεπτικὴ ἢ φυτική.

Τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν. Δείξας ὅτι ἡ ψυχή ἐστιν ἀρχὴ τοῦ ζῆν ἐν τοῖς φυτοῖς, ἐνταῦθα ἑπομένως φανεροῖ πῶς ἡ ψυχή ἐστιν ἀρχὴ τοῦ ζῆν ἐν τοῖς ζῴοις, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, λέγει ὅτι πρώτως λέγεταί τι εἶναι ζῷον διὰ τὴν αἴσθησιν· δεύτερον, δείκνυσιν ὅτι ἐν ταῖς ἄλλαις αἰσθήσεσιν ἡ ἁφὴ πρώτως ἐνυπάρχει τοῖς ζῴοις, ἐν τῷ· Αἰσθήσεως δὲ πρῶτον. Λέγει τοίνυν πρῶτον, ὅτι πρώτως λέγεταί τι εἶναι ζῷον διὰ τὴν αἴσθησιν, εἰ καὶ ζῷα τινὰ καὶ αἰσθάνονται καὶ κινοῦνται· ἐκεῖνα γὰρ λέγομεν εἶναι ζῷα καὶ οὐ μόνον ζῆν, ἅτινα εἰ καὶ μὴ ἀμείβουσι τόπον, ἔχουσι μέντοι γε αἴσθησιν· εἰσὶ γὰρ πολλὰ τῶν ζῴων τοιαῦτα, ἃ φυσικῶς μένουσιν ἐν τῷ αὐτῷ τόπῳ, καὶ ὅμως ἔχουσιν αἴσθησιν, ὥσπερ τὰ ὄστρεα, ἅπερ οὐ κινοῦνται κινήσει μεταβατικῇ.

Ταῦτα εἰπὼν δείκνυσι τὸ δεύτερον, ὅτι ἐν ταῖς ἄλλαις αἰσθήσεσιν ἡ ἁφὴ πρώτως ἐνυπάρχει τοῖς ζῴοις. Ὅπερ δείκνυσιν ἐκ τούτου, | ὅτι ὥσπερ f. 294
τὸ φυτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς καὶ πάσης αἰσθήσεως, οὕτως ἡ ἁφὴ δύναται χωρίζεσθαι τῶν ἄλλων αἰσθήσεων· πολλὰ γάρ εἰσι ζῷα, ἃ μόνην τὴν τῆς ἁφῆς ἔχουσιν αἴσθησιν, ὥσπερ τὰ ἀτελῆ ζῷα· πάντα δὲ τὰ ζῷα ἔχουσι τῆς ἁφῆς τὴν αἴσθησιν. Θρεπτικὴν δὲ ἀρχὴν λέγομεν τὸ μέρος ἐκεῖνο τῆς ψυχῆς, οὗ καὶ τὰ φυόμενα, τουτέστι τὰ φυτά, μετέχει. Οὕτω τοίνυν ἐκ τῶν προειρημένων φαίνονται τρεῖς βαθμοὶ τῶν ζώντων· πρῶτος ὁ τῶν φυτῶν· δεύτερος ὁ τῶν ἀτελῶν ζῴων καὶ ἀκινήτων, ἅπερ ἔχουσι μόνην τὴν αἴσθησιν τῆς ἁφῆς· τρίτος ὁ τῶν τελείων ζῴων, ἅπερ

---

1 *μόνον* après *κάτω* om B 4 *ἡ* après *ἧς* om B 13 *ἐστιν* avant *ἐν* om B 17 *αἴσθησιν*: *ἄλλην* B 21-29 *ἐν τῷ — τοῖς ζῴοις* en marge B

Ε. ΚΑ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κινοῦνται κινήσει μεταβατικῇ καὶ ἔχουσι καὶ τὰς ἄλλας αἰσθήσεις. Φανερὸν δὲ ἐστὶν ὅτι ὁ τέταρτος βαθμός ἐστι τῶν ἐχόντων σὺν τούτοις καὶ νοῦν.

Δι' ἣν δὲ αἰτίαν. Ἐνταῦθα, τρίτον, φησὶν τί μὲν εἴρηται, τί δὲ λείπεται ῥηθῆναι ἄξιον, καὶ φησὶν ὅτι μετὰ ταῦτα ῥητέον ἐστὶν δι' ἣν αἰτίαν ἑκάτερον αὐτῶν συμβαίνει, δηλονότι ὅτι τό τε θρεπτικὸν ἐστὶ χωρὶς αἰσθήσεως, καὶ ὅτι ἡ ἁφὴ χωρίς ἐστι τῶν ἄλλων αἰσθήσεων. Τοῦτο γὰρ ἐρεῖ ἐν τῷ τέλει τοῦ βιβλίου, νῦν δὲ τοσοῦτον ἀρκέσει εἰπεῖν, ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῆν κατὰ τοὺς προειρημένους τρόπους, καὶ ὅτι διακέκριται τοῖς τέσσαρσι τούτοις, δηλονότι τῷ θρεπτικῷ, ὅπερ ἐστὶν ἐν τοῖς φυτοῖς καὶ πᾶσι τοῖς ζῶσιν· τῷ αἰσθητικῷ, ὅπερ ἐστὶν ἐν πᾶσι τοῖς ζῴοις· καὶ τῷ νοερῷ, ὅπερ ἐστὶν ἐν τοῖς ἀνθρώποις· καὶ τῇ προχωρητικῇ κινήσει, ἥτις ἐστὶν ἐν πᾶσι τοῖς τελείοις ζῴοις ἀπὸ τῆς αἰσθήσεως, ἢ τοῦ νοῦ.

## Leçon IV.

Πότερον δὲ τούτων. Ἀνωτέρω ἔδειξεν ὁ Φιλόσοφος, ὅτι ἡ ψυχή ἐστιν ἀρχὴ τοῦ ζῆν κατὰ διάφορα γένη ζωῆς, καὶ διὰ τοῦτο νῦν ἐπιζητεῖ πῶς αἱ ἀρχαὶ τοῦ ζῆν, αἱ κατὰ διάφορα γένη τῆς ζωῆς, ἔχουσι πρὸς τὴν ψυχὴν καὶ πρὸς ἀλλήλας, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, κινεῖ ζητήματα δύο, ὧν τὸ πρῶτον ἐστὶν ὅτι, ἐπεὶ ἡ ψυχὴ ἀρχὴ οὖσα τοῦ ζῆν διώρισται τῷ θρεπτικῷ καὶ αἰσθητικῷ καὶ κινητικῷ καὶ νοερῷ, πότερον ἕκαστον αὐτῶν ἐστι ψυχὴ καθαυτήν, ἢ μέρος ψυχῆς. Καὶ φανερὸν ἐστίν, ὅτι ἐν τοῖς αὐξομένοις μόνον καὶ τρεφομένοις, ὥσπερ ἐν τοῖς φυτοῖς, τὸ θρεπτικόν ἐστι ψυχή· ἐν δὲ τοῖς τρεφομένοις καὶ αἰσθανομένοις ἐστὶ μέρος ψυχῆς· ὁμοίως καὶ περὶ τῶν ἄλλων. Τὸ δεύτερον ζήτημα ἐστὶν εἰ ἕκαστον τῶν προειρημένων ἐστὶ μέρος ψυχῆς, ὅταν πάντα εὑρίσκωνται ἐν μιᾷ ψυχῇ, ὡς ἐν τῇ ἀνθρωπίνῃ, πότερον οὕτως εἰσὶ μέρος ὥστε χωρίζεσθαι ἀλλήλων μόνον κατὰ τὸν λόγον, ὥστε δηλονότι εἶναι διαφόρους δυνάμεις· ἢ καὶ τόπῳ χωρίζονται, ὡς ἐν ἑνὶ μὲν μέρει τοῦ σώματος εἶναι τὸ αἰσθητικόν, ἐν ἄλλῳ δὲ τὸ θρεπτικόν, καὶ ἐν ἄλλῳ τὸ κινητικόν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καθὼς ἔδοξέ τισι.

Περὶ μέν τινων τούτων. Ἐνταῦθα λύει τὰς προειρημένας ἀπορίας, καὶ πρῶτον, τὴν δευτέραν· δεύτερον, τὴν πρώτην, ἐν τῷ· Ὅτι δὲ ἐνίοις μὲν τῶν ζῴων. Καὶ περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, λύει τὸ δεύτερον ζήτημα ὅσον πρὸς τὸ δεύτερον μέρος, τὸ πότερον τὰ μέρη τῆς ψυχῆς εἰσὶ χωριστὰ τόπῳ· δεύτερον, πρὸς τὸ πρῶτον, τὸ πότερον τὰ μέρη τῆς ψυχῆς εἰσὶ χωριστὰ λόγῳ μόνον, ἐν τῷ· Τῷ δὲ λόγῳ ὅτι ἕτερα. Φησὶ τοίνυν πρῶτον, ὅτι περὶ τινῶν μερῶν τῆς ψυχῆς οὐκ ἔστι χαλεπὸν ἰδεῖν εἰ ἄρα εἰσὶ χωριστὰ τῷ τόπῳ, τουτέστι τῷ ὑποκειμένῳ, ἀλλὰ περί τινων ἀπορία ἐστί. Καὶ πρὸς τὸ δεῖξαι ὅπως ἔν τισι τοῦτο ῥάδιον ἰδεῖν ἐστιν, προτίθησι παράδειγμα ἐκ τῶν φυτῶν, ὅτι τινὰ μέρη αὐτῶν διαιρού-

μενα καὶ χωριζόμενα ἀπ' ἄλλων μερῶν φαίνονται ζῆν· καὶ τοῦτο φανεροῦται διὰ τοῦ τοὺς κλάδους ἀποτεμνομένους ἐνκεντρίζεσθαί τε καὶ φυτεύεσθαι καὶ ἐνδυναμοῦσθαι, ὅπερ οὐκ ἂν ἦν, μὴ ὑπολειπομένης αὐτοῖς ζωῆς καὶ ἀκολούθως ψυχῆς, ἥτις ἐστὶν ἀρχὴ τοῦ ζῆν, διότι ἐνδέχεται ἐν παντὶ φυτῷ μίαν μὲν εἶναι ψυχὴν ἐντελεχείᾳ, πολλαπλῆν δὲ καὶ ποικίλην δυνάμει. Οὕτω γὰρ ὁρῶμεν συμβαῖνον κἂν τοῖς εἴδεσι τῶν φυσικῶν καὶ ἐμψύχων σωμάτων, ἃ διὰ τὸ ἀτελὲς αὐτῶν οὐ ζητοῦσι διαφορὰν ἐν τοῖς μέρεσιν, ὅτι ἐν ἑνί τινι ὅλῳ ἡ ψυχή ἐστιν ἐντελεχείᾳ μία καὶ πλείους δυνάμει, ὥσπερ καὶ αὐτὸ τὸ σῶμα ἐστὶν ἐντελεχείᾳ μὲν ἕν, πλείω δὲ δυνάμει· δύναται γὰρ διαιρεῖσθαι ἕκαστον αὐτῶν εἰς διάφορα μέρη ὁμοειδῆ, ὥσπερ φαίνεται ἐν τῷ ἀέρι καὶ ἐν τῷ ὕδατι καὶ ἐν τοῖς σώμασιν. Ὅθεν | δεῖ, f. 294v
εἰ τὰ μέρη εἰσὶν ὁμοειδῆ ἀλλήλοις καὶ τῷ ὅλῳ, καὶ τὸ εἰδητικὸν εἶδος μετὰ τὴν διαίρεσιν εἶναι ἐν ἑκατέρῳ μέρει, καὶ τῷ αὐτῷ λόγῳ, διότι ἡ ψυχὴ τοῦ φυτοῦ, ἀτελὴς οὖσα ἐν τῇ τάξει τῶν ψυχῶν, οὐ ζητεῖ μεγάλην διαφορὰν ἐν τοῖς μέρεσιν· ὅθεν ἡ ψυχὴ τοῦ ὅλου δύναται σῴζεσθαι ἔν τινι τῶν μερῶν. Οὕτως ὁρῶμεν κἂν ταῖς ἄλλαις διαφοραῖς τῆς ψυχῆς, οἷον τῶν ἐντόμων ἐν τοῖς διατεμνομένοις, τουτέστιν ἐν τοῖς ζῴοις, ἅτινα διαιρεθέντα ζῇ διὰ τὸ ἑκάτερον τῶν μερῶν ἔχειν αἴσθησιν· ὃ δῆλον ἐκ τοῦ νυττόμενον συνέλκειν ἑαυτὸ καὶ συστέλλεσθαι, κινεῖσθαί τε καὶ κατὰ τόπον, ὡς ἐν τῇ αἰσθήσει φαίνεται

Οὕτω τοίνυν ἐν ἑνὶ καὶ τῷ αὐτῷ μέρει φαίνεται καὶ ἡ αἰσθητικὴ καὶ ἡ κινητικὴ ἀρχή. Καὶ εἰ ἔστιν ἐκεῖ αἴσθησις, ἀνάγκη καὶ φαντασίαν εἶναι· ἡ δὲ φαντασία οὐδὲν ἄλλο ἐστὶν ἢ κίνησις γενομένη ἐξ αἰσθήσεως κατ' ἐνέργειαν, ὡς μετὰ ταῦτα ῥηθήσεται. Ὁμοίως καὶ εἰ ἔχει αἴσθησιν τὸ ἀποτμηθὲν μέρος, ἀνάγκη ἐστὶ καὶ ὄρεξιν ἔχειν· τῇ γὰρ αἰσθήσει ἐξ ἀνάγκης ἀκολουθεῖ ἡδονὴ καὶ λύπη εἴτουν ἀγαλλίασις καὶ ὀδύνη. Ἀνάγκη γάρ ἐστιν, ἂν τὸ αἰσθητὸν οἰκεῖον ᾖ ἀντιληπτόν, καὶ ἡδὺ εἶναι· εἰ δὲ ἀνοίκειον καὶ βλαβερόν, αὖθις ἐπίλυπον. Ὅπου δέ ἐστιν ὀδύνη, καὶ τοὐναντίον δεῖ εἶναι ἐπιθυμίαν τε καὶ ὄρεξιν. Ὅθεν ἀνάγκη ἐστίν, εἰ τὸ ἀποτμηθὲν μέρος αἰσθάνοιτο, καὶ ὄρεξιν ἔχειν. Οὕτω τοίνυν φανερὸν ἐστίν, ὅτι τὸ θρεπτικόν, τὸ αἰσθητικὸν καὶ τὸ ὀρεκτικὸν καὶ τὸ κινητικὸν εὑρίσκονται ἐν ἑνὶ μέρει ἀποτμηθέντι· ἐξ οὗ δῆλον, ὅτι οὐ διακρίνονται τόπῳ ἐν τῷ τοῦ ζῴου σώματι. Ἀλλὰ περί τινων δυνάμεων μερικῶν, φανερὸν ἐστίν, ὅτι διακρίνονται τόπῳ· ἡ γὰρ ὄψις, φανερὸν ὅτι οὐκ ἔστιν εἰ μὴ ἐν τῷ ὀφθαλμῷ, ἡ ἀκοὴ ἐν τοῖς ὠσίν, ἡ ὄσφρησις ἐν ταῖς ῥισίν, ἡ γεῦσις ἐν τῇ γλώττῃ καὶ τῷ λαιμῷ. Ἀλλ' ἡ πρώτη αἴσθησις, ἥτις ἐστὶν ἡ ἁφή, ἀναγκαία οὖσα τῷ ζῴῳ, ἔστιν ἐν ὅλῳ. Καὶ ὅ φησιν, ὅτι ἡ φαν-

9 *μὲν* om B    11 blanc après *ἐν τοῖς* AB    17 *ἅτινα* après *ζῴοις* om L
22 *καὶ* après *ἀνάγκη* om B

Ε.Υ.Δ.τ.ς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τασία ἐστὶν ἐν τῷ μέρει τῷ ἀποτμηθέντι, δοκεῖ εἶναι ἀμφίβολον· τῇ γὰρ φαντασίᾳ παρά τινων ἀποδίδοται ἀφωρισμένον ὄργανον ἐν τῷ σώματι. Ἀλλ' ἰστέον, ὅτι ἡ φαντασία εὑρίσκεται ἀδιορίστως ἐν τοῖς ἀτελέσι τῶν ζῴων, ἐν δὲ τοῖς τελείοις ζῴοις διωρισμένη ἐστίν, ὡς κατὰ ταῦτα ἐν τῷ τρίτῳ ῥηθήσεται. Ὄργανον τοίνυν διωρισμένον ἀποδίδοται τῇ φαντασίᾳ πρὸς μείζω τελείωσιν καὶ διορισμὸν τῆς ἰδίας ἐνεργείας, οὐ τοιοῦτον ὥστ' ἐκείνου χωρὶς τὴν ἐνέργειαν τῆς φαντασίας μηδένα τρόπον δύνασθαι εἶναι, ὥσπερ ἡ ἐνέργεια τῆς ὄψεως οὐδενὶ τρόπῳ δύναται εἶναι τοῦ ὀφθαλμοῦ χωρίς. Οὕτως οὖν ἐδήλωσεν ἐν αἷς δυνάμεσι τῆς ψυχῆς οὐκ ἔστι δυσχερὲς ἰδεῖν εἰ ἄρα εἰσὶ χωρισταὶ τόπῳ.

Περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς. Ἐνταῦθα δείκνυσιν ἐν ᾧ μέρει τῆς ψυχῆς δύναται εἶναι ἀμφιβολία· καὶ φησὶν ὅτι περὶ τοῦ νοῦ καὶ ᾧ τινι ἂν ἄλλῳ ὀνόματι καλοῖτο ἡ θεωρητικὴ δύναμις, οὐδέν ἐστί πω] φανερόν. Οὔπω γὰρ διὰ τοῦ εἰρημένου φαίνεται πότερον ἔχει τι ὄργανον ἐν τῷ σώματι, ἢ διακεκριμένον τόπῳ τῶν ἄλλων ὀργάνων, ἢ μὴ διακεκριμένον· ἀλλ' ὅμως, ὅσον ἐπιπολαίως φαίνεται, δοκεῖ εἶναι ἕτερον γένος ψυχῆς παρὰ τὰ ἄλλα μέρη τῆς ψυχῆς, τουτέστιν ἄλλη φύσις καὶ ἄλλον ἔχουσα τοῦ εἶναι τρόπον, καὶ ὅτι τοῦτο μόνον τὸ γένος τῆς ψυχῆς δύναται χωρίζεσθαι τῶν ἄλλων μερῶν τῆς ψυχῆς, καὶ ἔτι ὅτι κεχωρισμένον ἐστὶν ὀργάνου σωματικοῦ, καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. Ἀλλ' ὅτι τὰ λοιπὰ μέρη τῆς ψυχῆς οὐκ εἰσὶ χωριστὰ τόπῳ ἀλλήλων, φανερὸν ἐκ τῶν εἰρημένων.

Τῷ δὲ λόγῳ. Ἐνταῦθα δείκνυσιν ὅτι εἰσὶ χωριστὰ τῷ λόγῳ. Ἑκάστης γὰρ δυνάμεως ὁ λόγος ἐστὶ κατὰ τὴν πρὸς τὴν ἐνέργειαν τάξιν· ὅθεν ἀνάγκη ἐστίν, τῶν ἐνεργειῶν διαφόρων οὐσῶν κατὰ τὸ εἶδος, καὶ τὰς δυνάμεις ἔχειν διάφορον τῷ εἴδει λόγον, καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ἕτερον τὸ εἶναι αἰσθητικῷ καὶ δοξαστικῷ, τουτέστι νοερῷ, ἤγουν ἄλλος ἐστὶν ὁ λόγος ἑκατέρας δυνάμεως, εἰ τὸ αἰσθάνεσθαι ἐστὶν ἕτερον τοῦ δοξάζειν· ὁμοίως καὶ περὶ τῶν ἄλλων δυνάμεων τῶν προειρημένων.

Ὅτι δὲ ἐνίοις μέν. Ἐνταῦθα λύει τὸ πρῶτον ζήτημα, καὶ φησὶν ὅτι τοῦτο ποιεῖ διαφορὰν ἐν τοῖς ζῴοις, ὅτι τισὶ ζῴοις ἐνυπάρχει πάντα τὰ προειρημένα, τισὶ δὲ τινὰ τούτων, ἐνίοις δὲ ἓν μόνον· οἷς δ' ἂν ἐνυπάρχοι τὸ ἓν μόνον τῶν προειρημένων, δεῖ τοῦτο ἐν ἐκείνοις εἶναι ψυχήν· ἐν οἷς δὲ ἔνεισι πλείω, ἕκαστόν ἐστι μέρος ψυχῆς, ἀλλ' ἐκείνη ἡ ψυχὴ παρονο-
f. 295 μάζεται ἀπὸ τῆς ἀρχο|ειδεστέρας, ἢ τῆς αἰσθητικῆς, ἢ τῆς νοερᾶς. Διατί δὲ τοῦτο ἐστίν, ὅτι τὰ μὲν ἓν ἔχει μόνον, τὰ δὲ πλείω, τὰ δὲ πάντα, ὕστερον ῥηθήσεται. Καὶ ὥσπερ συμβαίνει περὶ τὰς δυνάμεις τῆς ψυχῆς, οὕτω συμβαίνει περὶ τὰς αἰσθήσεις. Τινὰ μὲν γὰρ ἔχουσι πάσας τὰς

---

4 *διηρημένη* B

αἰσθήσεις, ὥσπερ τὰ τέλεια ζῷα· τινὰ δὲ ἔχουσι τινὰς καὶ οὐ πάσας, οἷον ὁ ἀσπάλαξ· τινὰ δὲ ἔχουσι μίαν μόνην τὴν ἀναγκαῖαν, ἤγουν τὴν ἁφήν, οἷον τὰ ἀτελῆ ζῷα. Δυνατὸν δὲ τοῦτο τὸ μέρος καὶ πρὸς ἄλλον νοῦν ἀναφέρεσθαι, ὥστε λέγεσθαι ὅτι, ἐπεὶ ἀνωτέρω ἔδειξεν ὁ Φιλόσοφος τὰ μέρη τῆς ψυχῆς μὴ χωρίζεσθαι ἀλλήλων τόπῳ ἢ τῷ ὑποκειμένῳ ἐν τῷ ζώῳ ἐν ᾧ εἰσιν, ἵνα μὴ διὰ τοῦτο νομισθῇ καὶ ἐν τοῖς διαφόροις ζῴοις ἀχώριστα εἶναι ταῦτα, καὶ ᾧ τινι ἔνεστιν ἓν τούτων καὶ πάντα ἐνυπάρχειν, διὰ τοῦτο τὴν ὑπόνοιαν ταύτην ἀποσκευαζόμενος, τουτὶ τὸ μέρος προτέθεικεν.

Ἐπεὶ δὲ ᾧ ζῶμεν. Δεδειγμένου τὴν ψυχὴν εἶναι ἀρχὴν πρώτην τοῦ ζῆν, συμπεραίνει ἐκ τούτου τὸν ὁρισμὸν τὸν προαποδεδομένον, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι τὸ προκείμενον ἐκ τῆς ἀληθείας ἀποδειχθείσης· δεύτερον, τινὰ συμπεράσματα ἐπέκεινα προστίθησιν ἐν τῷ· Καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσι.

Περὶ τὸ πρῶτον τίθησι τοιαύτην ἀπόδειξιν. Τῶν δύο, ὧν ἑκατέρῳ λεγόμεθα εἶναί τι ἢ ἐνεργεῖν, τὸ ἕν, δηλονότι ὃ πρῶτον ἐστίν, ἔστιν ὡς εἶδος, καὶ τὸ ἄλλο ὡς ὕλη. Ἀλλ' ἡ ψυχή ἐστι τὸ πρῶτον ᾧ ζῶμεν, ἐπεὶ καὶ ψυχῇ καὶ σώματι ζῶμεν. Ἡ ψυχὴ ἄρα ἐστὶν εἶδος τοῦ ζῶντος σώματος. Καὶ οὗτος ἐστὶν ὁ ὁρισμός, ὁ ἀνωτέρω περὶ ψυχῆς τεθειμένος, ὅτι ἡ ψυχή ἐστιν ἐντελέχεια πρώτη φυσικοῦ σώματος δυνάμει ζωὴν ἔχοντος. Φανερὸν δέ ἐστιν, ὅτι τὸ μέσον ταύτης τῆς ἀποδείξεώς ἐστιν ὁ ὁρισμός τις τῆς ψυχῆς, δηλονότι τό, ἡ ψυχὴ ἐστὶ τὸ πρῶτον ᾧ ζῶμεν. Καὶ περὶ τὴν ἀπόδειξιν ταύτην τέσσαρα ποιεῖ· πρῶτον, τίθησι τὴν μείζονα· δεύτερον, τίθησι τὴν ἐλάττονα, ἐν τῷ· Ἡ ψυχὴ δὲ τοῦτο· τρίτον, τίθησι τὸ συμπέρασμα, ἐν τῷ· Ὥστε λόγος ἂν εἴη· τέταρτον, δείκνυσιν ἕπεσθαι τὸ συμπέρασμα ἐκ τῶν προειρημένων, ἐν τῷ· Τριχῶς γὰρ λεγομένης τῆς οὐσίας. Τίθησι τοίνυν, πρῶτον, τὴν μείζονα λέγων ὅτι ᾧ ζῶμεν καὶ αἰσθανόμεθα διχῶς λέγεται, δηλονότι τῷ ἑνὶ ὡς ὕλῃ, καὶ τῷ λοιπῷ ὡς εἴδει, ὥσπερ καὶ ᾧ ἐπιστάμεθα διχῶς λέγεται· δυσὶ γὰρ λεγόμεθα ἐπίστασθαι, ὧν θάτερον μέν ἐστιν ἡ ἐπιστήμη, θάτερον δὲ ἡ ψυχή. Ὁμοίως καὶ ᾧ ὑγιαίνομεν λέγεται ἐπὶ δυοῖν, ὧν τὸ ἓν ἐστὶν ὑγίεια, καὶ τὸ λοιπὸν μέρος τι τοῦ σώματος, ἢ ὅλον τὸ σῶμα· ἑκατέρωθι γὰρ τὸ ἓν ἐστὶν ὡς εἶδος, καὶ τὸ ἄλλο ὡς ὕλη. Ἡ γὰρ ἐπιστήμη καὶ ἡ ὑγίεια εἴδη εἰσὶν ὡς ἐντελέχεια τῶν δεκτικῶν· ἡ γὰρ ἐπιστήμη ἐστὶν εἶδος τοῦ ἐπιστημονικοῦ, τουτέστι τοῦ μέρους τῆς ψυχῆς ἐν ᾧ ἡ ἐπιστήμη ἐστίν· ἡ δὲ ὑγίεια ἐστὶν εἶδος τοῦ σώματος τοῦ ὑγιαστικοῦ. Διὰ τοῦτο δὲ εἶπεν ὑγιαστικὸν καὶ ἐπιστημονικόν, ἵνα δείξῃ τὴν ἐν τῷ ὑποκειμένῳ ἐπιτηδειότητα πρὸς

1 *καὶ οὐ πάσας* om B  10 *τοῦ* avant *τὴν ψυχὴν* ade B  19 *τεθειμένος* corrigé de *εἰρημένος* B  25 *ὥστε*: *αὖθις δὲ* B  29 *εἴδει*: *ὕλῃ* B

Ε. ΚΑ της Κ.Ε.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τὰ τοιαῦτα εἴδη. Αἱ γὰρ ἐνέργειαι, τουτέστι τὰ εἴδη, ἅτινα εἰσάγονται παρὰ τῶν ποιούντων εἰς τὴν ὕλην, δοκοῦσιν εἶναι ἐν τῷ πάσχοντι καὶ διατιθεμένῳ, τουτέστιν ἐν ἐκείνῳ, ὃ πέφυκεν πάσχειν τὴν ἐνέργειαν τοῦ ποιοῦντος ἀπὸ τοῦ τοιούτου ποιοῦντος, καὶ ὅπερ ἐστὶν διατεθειμένον πρὸς τὸ τυχεῖν τοῦ τέλους τοῦ πάθους, δηλονότι τοῦ εἴδους πρὸς ὃ διὰ τοῦ πάσχειν ἐπείγεταί τε καὶ ὕστερον ἀφικνεῖται.

Ἡ ψυχὴ δέ. Ἐνταῦθα τίθησι τὴν ἐλάττω, καὶ φησὶν ὅτι ἡ ψυχὴ ἐστὶ ᾧ πρώτως ζῶμεν καὶ αἰσθανόμεθα καὶ κινούμεθα καὶ νοοῦμεν· καὶ ἀναφέρονται ταῦτα τὰ τέσσαρα πρὸς τὰ τῆς ζωῆς τέσσαρα γένη, ὧν ἐμνημόνευσεν ἀνωτέρω. Τὸ γὰρ ζῆν ἀναφέρεται πρὸς τὴν φυτικὴν ἀρχήν, διότι ἀνωτέρω εἶπεν, ὅτι τὸ ζῆν διὰ ταύτην τὴν ἀρχὴν ἐνυπάρχει πᾶσι τοῖς ζῶσιν. Ἰστέον δὲ ὅτι, εἰ καὶ τῇ ὑγείᾳ καὶ τῷ σώματι λεγόμεθα εἶναι ὑγιεῖς, ἡ ὑγεία μέντοι ἐστὶ τὸ πρῶτον ᾧ ὑγιαίνειν λεγόμεθα· οὐ γὰρ λεγόμεθα ὑγιαίνειν τῷ σώματι, εἰ μὴ καθόσον ἔχει τὴν ὑγείαν· ὁμοίως καὶ ἐπιστήμη ἐστὶν ᾧ πρώτως λεγόμεθα εἶναι ἐπιστήμονες καὶ ἐπίστασθαι, διότι οὐ λεγόμεθα εἶναι τῇ ψυχῇ ἐπιστήμονες ἢ ἐπίστασθαι, εἰ μὴ καθόσον ἔχει τὴν ἐπιστήμην. Ὁμοίως καὶ τῷ σώματι οὐ λεγόμεθα ζῆν, εἰ μὴ καθόσον ἔχει ψυχήν. Καὶ διὰ τοῦτο ἐνταῦθα λέγεται, ὅτι ἡ ψυχὴ ἐστὶ τὸ πρῶτον ᾧ ζῶμεν καὶ αἰσθανόμεθα.

Ὥστε. Ἐνταῦθα, τρίτον, τίθησι τὸ συμπέρασμα· καὶ ἤρτηται ἐξ
f. 295v ἐκείνου τοῦ μέρους ἡ σύνταξις, | ὅπου ἔλεγεν· Ἐπεὶ δὲ ᾧ ζῶμεν. Συμπεραίνει τοίνυν ἐκ τῶν προειρημένων, ὅτι ἡ ψυχὴ ἔχει ὡς λόγος καὶ εἶδος, οὐχ ὡς ὕλη καὶ ὑποκείμενον.

Τριχῶς γὰρ λεγομένης. Ἐνταῦθα, τέταρτον, δείκνυσι τὸ συμπέρασμα ἕπεσθαι ἐκ τῶν προειρημένων. Οὐ γὰρ ἐδόκει μᾶλλον ἀκολουθεῖν περὶ τῆς ψυχῆς ἢ τοῦ σώματος τὸ εἶναι μᾶλλον ὕλην, ἐπεὶ τούτων ἑκατέρῳ λεγόμεθα ζῆν· ὅθεν πρὸς τελειότητα τῆς εἰρημένης ἀποδείξεως ἐπάγει ὅτι, ἐπεὶ ἡ οὐσία λέγεται τριχῶς, ὡς καὶ πρότερον εἴρηται, δηλονότι ἡ ὕλη, καὶ τὸ εἶδος, καὶ τὸ ἐξ ἀμφοῖν σύνθετον· ὧν ἡ μὲν ὕλη ἐστὶν ἐν δυνάμει, καὶ τὸ εἶδος ἐντελέχεια, καὶ ἐξ ἀμφοῖν τούτων ἐστὶ τὸ ἔμψυχον, φανερὸν δὲ ὅτι τὸ σῶμα οὐκ ἔστιν ἐντελέχεια τῆς ψυχῆς, ἀλλὰ μᾶλλον ἡ μὲν ψυχή ἐστιν ἐντελέχεια τινὸς σώματος, τὸ δὲ σῶμα ἐστὶν ἐν δυνάμει πρὸς τὴν ψυχήν, διὰ τοῦτο, ἐπεὶ ἀκολουθεῖ ἐκ τῆς προειρημένης ἀποδείξεως ἢ τὸ σῶμα, ἢ τὴν ψυχὴν εἶναι εἶδος, καὶ τὸ σῶμα, ὡς νῦν εἴρηται, οὐκ ἔστι τῆς ψυχῆς εἶδος, καταλείπεται τὴν ψυχὴν εἶναι εἶδος τοῦ σώματος.

Καὶ διὰ τοῦτο καλῶς. Ἐνταῦθα ἐπάγει τινὰ συμπεράσματα ἐκ τῶν προειρημένων, ὧν πρῶτον ἐστὶν ὅτι καλῶς ὑπειλήφασιν οἷς ἔδοξε τὴν

---

8 *ἀρχὴ* après *ἐστὶν* add B 12 *εἰ* om B

Ε.Υ.Δ της Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

ψυχὴν μὴ εἶναι ἄνευ σώματος, μηδὲ εἶναι σῶμα. Οὐ γάρ ἐστι σῶμα, διότι οὐκ ἔστιν ὕλη, ἀλλ' ἔστι τι σώματος, διότι ἐστὶν ἐντελέχεια σώματος. Καὶ διότι πᾶσα ἐντελέχεια ἔστιν ἐν τῷ οὗ ἐστιν ἐντελέχεια, ἐπάγει ἑπομένως ἐκεῖ· Καὶ διὰ τοῦτο ἐν σώματι τοιούτῳ, ἤγουν τὸ δεύτερον συμπέρασμα, δηλονότι τὸ τὴν ψυχὴν εἶναι ἐν σώματι καὶ ἐν τοιούτῳ σώματι, δηλονότι φυσικῷ ὀργανικῷ, καὶ τοῦτο οὐκ ἔστι κατὰ τὸν τρόπον, ᾧπερ οἱ πρότεροι φιλόσοφοι διελέγοντο περὶ τῆς ψυχῆς καὶ τῆς ἑνώσεως αὐτῆς πρὸς τὸ σῶμα, μὴ προσδιοριζόμενοι ἐν τίνι καὶ ποταπῷ ἂν εἴη σώματι. Καὶ τῷόντι τοῦτο, ὥσπερ ἡμεῖς λέγομεν, ἔχει, ὅτι ἡ ψυχὴ ἐν διορισμένῳ ἐστὶ σώματι, ἐπεὶ οὐ φαίνεται ἡ ψυχὴ λαμβάνειν τὸ τυχὸν σῶμα, ἀλλ' ἀφωρισμένον. Καὶ τοῦτο εὐλόγως συμβαίνει, διότι ἑκάστη ἐντελέχεια πέφυκεν ἐν ἰδίᾳ καὶ διωρισμένῃ γίνεσθαι ὕλῃ· ὅθεν δεῖ καὶ τὴν ψυχὴν ἐν διωρισμένῳ προσλαμβάνεσθαι σώματι. Τελευταῖον δὲ ἐπιλέγων συμπεραίνει, ὅτι ἡ ψυχή ἐστιν ἐντελέχειά τις καὶ λόγος τοῦ ἔχοντος τὸ εἶναι τοιοῦτον, ἐν δυνάμει δηλονότι τοῦ δυνάμει ζῶντος.

## Leçon V.

Τῶν δὲ δυνάμεων. Ὁρισάμενος ὁ Ἀριστοτέλης τὴν ψυχὴν ἐν τῷ κοινῷ, νῦν μέτεισι πρὸς τὸ διορίσασθαι τὰ μέρη αὐτῆς, ἢ περὶ τῶν μερῶν αὐτῆς. Οὐκ ἔχει δὲ ἡ ψυχὴ ἄλλως μέρη εἰ μὴ ὅτι αἱ δυνάμεις αὐτῆς μέρη αὐτῆς εἶναι λέγονται, ὥσπερ τινὸς δυναμένου πολλὰ μέρη λέγεσθαι δύνανται αἱ ἐξουσίαι καὶ αἱ δυνάμεις αἱ πρὸς ἕκαστα. Ὅθεν τὸ διορίζεσθαι περὶ τῶν μερῶν τῆς ψυχῆς ἐστὶ διορίζεσθαι περὶ ἑκάστης τῶν δυνάμεων τῆς ψυχῆς. Διαιρεῖται δὲ τοῦτο τὸ μέρος εἰς δύο· ἐν τῷ πρώτῳ διορίζεται περὶ τῶν δυνάμεων τῆς ψυχῆς ἐν κοινῷ, διακρίνων αὐτὰς ἀλλήλων· ἐν τῷ δευτέρῳ διαλέγεταί τε καὶ διορίζεται περὶ ἑκάστης αὐτῶν ἐν τῷ· Ὥστε πρότερον περὶ τροφῆς. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διακρίνει τὰς δυνάμεις τῆς ψυχῆς πρὸς ἀλλήλας· δεύτερον, δείκνυσι τί περὶ τῶν δυνάμεων τῆς ψυχῆς, καὶ πῶς, καὶ τίνι τάξει διοριστέον ἂν εἴη, ἐν τῷ· Ὥστε καθ' ἕκαστον ζητητέον. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, διακρίνει τὰς τῆς ψυχῆς δυνάμεις πρὸς ἀλλήλας· δεύτερον, δείκνυσι πῶς ὁ κοινὸς τῆς ψυχῆς λόγος ἔχει πρὸς τὰ εἰρημένα μέρη, ἐν τῷ· Δῆλον οὖν ὅτι. Περὶ τὸ πρῶτον πάλιν δύο ποιεῖ· πρῶτον, ἀριθμεῖ τὰς δυνάμεις τῆς ψυχῆς· δεύτερον, δείκνυσι πῶς ἀλλήλαις ἀκολουθοῦσιν, ἐν τῷ· Ὑπάρχει δὲ τοῖς φυτοῖς.

Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐκ τῶν δυνάμεων τῆς ψυχῆς τῶν ὠνομασ-

---

12 *ὡρισρένη* B 19 *μέτεισι: λέγει* B 21-22 *δύνασθαι λέγεται* B 27 *αὖθις* avant *δύο* add B 28 *μὲν γὰρ* avant *διακρίνει* add B 30 *καὶ* avant *περὶ* add B *αὖθις: πάλιν* B 31 *γὰρ* avant *διακρίνει* add B 33 *καὶ* avant *περὶ* add B *πάλιν: αὖθις* B

μένων τισὶ μὲν ἐνυπάρχουσι πᾶσαι, οἷον ἀνθρώποις· τισὶ δὲ ἔνιαι αὐτῶν, ὥσπερ τοῖς ἄλλοις ζῴοις· τισὶ δὲ μία μόνον, ὥσπερ τοῖς φυτοῖς. Καὶ διότι ἀνωτέρω οὐκ ὠνόμασεν αὐτὰς δυνάμεις ἀλλὰ μέρη ψυχῆς, διὰ τοῦτο φανεροῖ ὅτι διὰ τῶν τῆς ψυχῆς δυνάμεων τοῦτο νοεῖ, ὅπερ ἀνωτέρω διὰ τῶν μερῶν, ὧν πέντε εἰσὶ γένη, δηλονότι τὸ θρεπτικόν, τὸ αἰσθητικόν, τὸ ὀρεκτικόν, τὸ κατὰ τόπον κινητικὸν καὶ τὸ νοερόν. Δεῖ δὲ ἐνταῦθα δύο θεωρεῖν· πρῶτον μὲν διὰ τί τίθενται ἐνταῦθα πέντε γένη δυνάμεων f. 296 ψυχῆς, μάλιστα ἐπεὶ εἴωθε λέγεσθαι τριπλῆν εἶναι τὴν ψυχήν, | φυτικὴν δηλονότι, αἰσθητικὴν καὶ λογικὴν εἴτουν νοεράν· δεύτερον, πῶς ἐνταῦθα τίθησι πέντε, ἐπειδὴ ἔθηκεν ἀνωτέρω τέσσαρα μόνον.

Ἰστέον δὴ περὶ τὸ πρῶτον, ὅτι ἐπεὶ πᾶσα δύναμις λέγεται πρὸς ἐνέργειαν ἰδίαν, ἡ δύναμις ἡ ἐνεργητικὴ λέγεται πρὸς τὴν ἐντελέχειαν, ἥτις ἐστὶν ἐνέργεια. Αἱ δὲ δυνάμεις τῆς ψυχῆς εἰσὶν ἐνεργητικαί· τοιαύτη γάρ ἐστιν ἡ δύναμις τοῦ εἴδους. Ὅθεν ἀνάγκη κατὰ τὰς διαφόρους ἐνεργείας τῆς ψυχῆς λαμβάνεσθαι καὶ τὴν διαφορὰν τῶν δυνάμεων. Ἡ δὲ ἐνέργεια τῆς ψυχῆς ἐστὶν ἐνέργεια τοῦ ζῶντος πράγματος. Ἐπεὶ τοίνυν ἑκάστῳ πράγματι ἁρμόζει ἰδία ἐνέργεια, καθ' ἣν ἔχει τὸ εἶναι, ἐφόσον ἕκαστον ἐνεργεῖ, καθόσον ἐστὶν ὄν, δεῖ τὰς τῆς ψυχῆς ἐνεργείας θεωρεῖν κατὰ τὸ εἶναι, ὅπερ εὑρίσκεται ἐν τοῖς ζῶσιν. Ταῦτα δὲ τὰ ζῶντα ἐν τοῖς ὑποκάτω πράγμασιν, ὧν ἐντελέχεια ἐστὶν ἡ ψυχή, περὶ ἧς νῦν πραγματεύεται, ἔχουσι διπλοῦν εἶναι· ἓν μὲν ὑλικόν, ἐν ᾧ συμφωνοῦσι μετὰ τῶν ἄλλων ὑλικῶν πραγμάτων· ἄλλο δὲ ἄϋλον, ἐν ᾧ κοινωνοῦσί πῃ ταῖς ἀνωτέραις οὐσίαις. Ἔστι δὲ διαφορὰ μεταξὺ τούτων τῶν δύο εἶναι, διότι κατὰ τὸ ὑλικὸν εἶναι, ὅπερ ἐστὶ διὰ τῆς ὕλης συγκεκριμένον, ἕκαστον πρᾶγμα ἐστὶ τοῦτο μόνον ὅ τί ποτέ ἐστιν, ὥσπερ ὁ λίθος οὑτοσὶν οὐκ ἔστιν ἄλλο ἢ λίθος οὑτοσί· κατὰ δὲ τὸ ἄϋλον εἶναι, ὅπερ ἐστὶ πεπλατυσμένον καὶ τρόπον τινὰ ἄπειρον, καθόσον οὐκ ἔστι διὰ τῆς ὕλης πεπερασμένον καὶ ὡρισμένον, τὸ πρᾶγμα οὐ μόνον ἐστὶ τοῦτο, ὅπερ ἐστίν, ἀλλὰ καὶ ἄλλο τι τρόπον τινά. Ὅθεν ἐν ταῖς ὑψηλοτέραις οὐσίαις καὶ ἀΰλοις εἰσὶ τρόπον τινὰ πάντα ὡς ἐν καθολικαῖς αἰτίαις. Τὸ τοιοῦτον δὲ ἄϋλον εἶναι δύο ἔχει βαθμοὺς ἐν τοῖς ὑποκάτω τούτοις. Ἔστι μὲν γάρ τι παντελῶς ἄϋλον, δηλονότι τὸ νοητὸν εἶναι· ἐν γὰρ τῷ νῷ τὰ πράγματα ἔχουσι τὸ εἶναι καὶ χωρὶς τῆς ὕλης καὶ χωρὶς τῶν παρακολουθημάτων τῆς ὕλης, τῶν ἀτομιζόντων αὐτήν, καὶ ἔτι χωρὶς ὀργάνου σωματικοῦ. Τὸ δὲ αἰσθητὸν εἶναι ἐστὶ μέσον ἑκατέρου. Ἐν γὰρ τῇ αἰσθήσει τὰ πράγματα ἔχουσι τὸ εἶναι χωρὶς τῆς ὕλης, οὐ μέντοι γε καὶ χωρὶς τῶν παρακολουθημάτων τῆς ὕλης τῶν ἀτομιζόντων, οὐδὲ χωρὶς ὀργάνου σωματικοῦ· ἔστι γὰρ ἡ αἴσθησις τῶν μερικῶν, ὁ δὲ νοῦς τῶν καθόλου. Καὶ ὅσον πρὸς τοῦτο τὸ

---

10 *ἐπεὶ* B *τίθησι* B 28 *διωρισμένων* B 31 *ἔχει* : *ποιεῖ* B 34 *αἰσθητικὸν* B

Ε.Α της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

διπλοῦν εἶναι, φησὶν ὁ Φιλόσοφος ἐν τῷ τρίτῳ, ὅτι ἡ ψυχή ἐστι τρόπον τινὰ πάντα, αἱ δὲ ἐνέργειαι αἱ ἁρμόζουσαι τῷ ζῶντι κατὰ τὸ ὑλικὸν εἶναι, εἰσὶν αἱ ἐνέργειαι αἱ ἀποδιδόμεναι τῇ φυτικῇ ψυχῇ, αἵτινες εἰ καὶ πρὸς τοῦτο τάττονται πρὸς ὃ καὶ αἱ ἐνέργειαι τάττονται ἐν τοῖς ἀψύχοις πράγμασι, δηλονότι πρὸς τὸ τυχεῖν τοῦ εἶναι καὶ συντηρεῖν αὐτό, ὅμως ἐν τοῖς ζῶσι τοῦτο γίνεται δι' ὑψηλοτέρου καὶ βελτίονος τρόπου. Τὰ γὰρ ἄψυχα σώματα γεννῶνται καὶ συντηροῦνται ἐν τῷ εἶναι ὑπὸ τῆς κινητικῆς ἐξωτερικῆς ἀρχῆς· τὰ δὲ ἔμψυχα γεννῶνται ἀπὸ ἐνδοτέρας ἀρχῆς. Τοῦτο γὰρ εἶναι δοκεῖ τῶν ζώντων ἴδιον, τὸ ἐνεργεῖν ὡς ἐξ ἑαυτῶν κινούμενα· αἱ δὲ ἐνέργειαι αἱ ἀποδιδόμεναι τοῖς ζῶσι πράγμασι κατὰ τὸ πάντη ἄϋλον εἶναι πρὸς τὸ νοερὸν τῆς ψυχῆς ἀνήκουσι μέρος· αἱ δὲ ἀποδιδόμεναι αὐτοῖς κατὰ τὸ μέσον εἶναι ἀνήκουσι πρὸς τὸ αἰσθητικὸν τῆς ψυχῆς μέρος. Καὶ κατὰ τοῦτο τὸ τριπλοῦν εἶναι διακρίνεται κοινῶς ἡ ψυχὴ εἰς τρία, δηλονότι τὴν φυτικήν, τὴν αἰσθητικὴν καὶ τὴν λογικήν. Ἀλλ' ἐπεὶ πᾶν εἶναι κατά τι εἶδος ἐστί, δεῖ τὸ μὲν αἰσθητὸν εἶναι δι' εἴδους εἶναι αἰσθητοῦ, τὸ δὲ νοητὸν εἶναι διὰ νοητοῦ εἴδους. Ἐξ εἴδους δὲ ἑκάστου ἕπεταί τις ῥοπὴ καὶ ἐκ τῆς ῥοπῆς ἐνέργεια, ὥσπερ ἐκ τοῦ φυσικοῦ εἴδους τοῦ πυρὸς ἕπεται ἡ πρὸς τὸν ἄνω τόπον ῥοπή, καθ' ἣν λέγεται κοῦφον, καὶ ἐκ ταύτης τῆς ῥοπῆς ἕπεται ἡ ἐνέργεια, δηλονότι ἡ ἄνω κίνησις. Τῷ εἴδει τοίνυν, εἴτε τῷ αἰσθητῷ, εἴτε τῷ νοητῷ, ἀκολουθεῖ ῥοπή τις, ἥτις λέγεται ὄρεξις αἰσθητική, ἢ νοερά, ὥσπερ ἡ ῥοπὴ ἡ ἑπομένη τῷ φυσικῷ εἴδει λέγεται φυσικὴ ἔφεσις. Ἐκ δὲ τῆς ἐφέσεως ἀκολουθεῖ ἐνέργεια, ἥτις ἐστὶν ἡ τοπικὴ κίνησις. Οὗτος τοίνυν ἐστὶν ὁ λόγος, δι' ὃν χρὴ πέντε εἶναι γένη τῶν τῆς ψυχῆς δυνάμεων, ὅπερ ἐζητεῖτο πρῶτον.

Περὶ δέ γε τὸ δεύτερον, ἰστέον ἐστίν, ὅτι ὁ Φιλόσοφος βουλόμενος δεικνύναι ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῆν ἐν πᾶσι τοῖς ζῶσι, διέκρινε τὸ ζῆν αὐτὸ κατὰ τοὺς τῶν ζώντων βαθμούς, καὶ οὐ κατὰ τὰς τῆς ζωῆς | ἐνεργείας, καθ' ἃς διακρίνονται ἐνταῦθα τὰ γένη τῶν δυνάμεων. Τὸ δὲ f. 296v ὀρεκτικὸν οὐ συνίστησι βαθμόν τινα ἐν τοῖς ζῶσι, διότι πάντα τὰ ἔχοντα αἴσθησιν ἔχουσι καὶ ὄρεξιν, καὶ οὕτως ὑπολείπονται τέσσαρες μόνον βαθμοὶ τῶν ζώντων, ὡς προαποδέδεικται.

Ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς. Ἐνταῦθα δείκνυσι πῶς αἱ προειρημέναι δυνάμεις ἀκολουθοῦσιν ἀλλήλαις, φανερῶν ὅπερ πρότερον εἶπεν, ὅτι τῶν δυνάμεων τισὶ μὲν εἰσὶ πᾶσαι, τοῖς δὲ τινὲς αὐτῶν, τισὶ δὲ μία μόνη. Ὅπου δεῖ θεωρεῖν, ὅτι πρὸς τὸ τέλειον εἶναι τὸ πᾶν οὐδεὶς βαθμὸς τελειότητα ἐν τοῖς πράγμασιν ἐμβάλλεται, ἀλλὰ κατὰ μικρὸν ἡ φύσις ἐκ τῶν ἀτελῶν εἰς τὰ τέλεια πρόεισι· διὸ καὶ ὁ Φιλόσοφος, ἐν τῷ ἕκτῳ τῶν μετὰ τὰ φυσικά, ἀφομοιοῖ τὰ τῶν πραγμάτων εἴδη ἀριθμοῖς, οἳ κατὰ

---

7-8 *ἐξωτέρας* B 16 *δι' εἴδους εἶναι νοητοῦ* B



Ε.Γ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006